Τοῖσι παισὶ τὴν ἑταίραν ἐκάλεσ' ἐκ τῶν γειτόνων A
Παῖδα χρηστὴν κἀγαπητὴν ἐκ Βοιωτῶν ἔγχελυν.
Οἱ δὲ πέμψειν οὐκ ἔφασκον διὰ τὰ σὰ ψηφίσματα.
Κοὐχὶ μὴ παύσησθε τῶν ψηφισμάτων πρὶν ἂν
Τοῦ σκέλους λαβὼν ἡμᾶς τις ἐκτραχηλίσῃ φέρων. B

*Forte putillis sodalem accersii de proximis*
*Optimam puellulam anguillam velut Copaida:*
*Séque missurum negarunt vestra propter scita, quæ*
*Vos senes nunquam rogare desinetis antequam*
*Crure sit qui vos prehenso præcipes pessumduit.*

BISETVS. Κἀγαπητὴν] τὸ πλῆρες, καὶ ἀγαπητήν. νῦν δὲ γέλωτος χάριν, τὴν ἔγχελυν, παῖδα χρηστὴν καὶ ἀγαπητὴν καλεῖ.

CHR. Καμπητὴν ἐκ Βοιωτῶν ἔγχελυν.] Etiam in Veneta editione habes hoc scripturæ vitium καμπητήν. Quod, quid sit, nescio, Præterea cùm non constet suis pedibus versus Trochaicus, non dubitaui versum fulcire correctione quam puto ἀναμφισβήτητον, & legere κωπαΐτιν. Nam à Copaide palude optimæ anguillæ, vt & in Irena antea vidimus. Paulò post pro λαβὼν ἡμᾶς, malim ὑμᾶς.

C

## ΓΥΝΗ ΤΙΣ, ΛΥΣΙΣΤΡΑΤΗ, Ἄλλη Γυνή, Ἄλλη, Χορὸς Γυναικῶν.

## MVLIER QVÆDAM, LVSISTRATA, ALTERA MVLIER, Altera. chorus mulierum.

BISETVS. Μία τῶν γυναικείου χοροῦ, τὴν Λυσιστράτην ἐκ τῆς ἀκροπόλεως ἐξερχομένην, καὶ σκυθρωπὸν οὖσαν ὁρῶσα, ταῦτα λέγει. αὕτη δὲ ἡ Λυσιστράτη πολλὰ τῆς γυναικείου ἀκολασίας γελοῖα παραδείγματα μετὰ σφοδρᾶς μέμψεως διηγεῖται. ἐν τούτῳ δὲ, πολλαὶ τῶν αὐτῆς D γυναικῶν ἀτάκτως, καὶ ἀκόσμως ἐξέρχονται, διαφόρους τῆς ἑαυτῆς ἐξόδου, καὶ ἀπελεύσεως, καὶ οἱονεὶ λειποταξίας προφάσεις οὐδενὸς ἀξίας, καὶ ματαίας προφέρουσαι.

Γυν. Ἄνασσα πράγους τοῦδε καὶ βουλεύματος,
Τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων;
Λυ. Κακῶν γυναικῶν ἔργα καὶ θήλεια φρὴν
Ποιεῖ μ' ἄθυμον περιπατεῖν τ' ἄνω κάτω.
Ἀλλ. Γυν. Τί φής; τί φής;
Λυ. Ἀληθῆ, ἀληθῆ.
Ἀλλ. Γυν. Τί δ' ἐστὶ δεινὸν; φράζε ταῖς σαυτῆς φίλαις.
Λυ. Ἀλλ' αἰσχρὸν εἰπεῖν, καὶ σιωπῆσαι βαρύ.
Ἀλλ. Γυν. Μή νύν με κρύψῃς. τί πεπόνθαμεν κακόν;
Λυ. Βινητιῶμεν, ἡ βράχιστον τοῦ λόγου.
Ἀλλ. Γυν. Ἰὼ Ζεῦ.
Λυ. Τί Ζῆν' ἀϋτεῖς; ταῦτα δ' οὖν οὕτως ἔχει.
Ἐγὼ μὲν οὖν αὐτὰς ἀπέχειν οὐκέτι
Οἵα τ' ἀπὸ τῶν ἀνδρῶν. ἀποδιδράσκουσι γάρ.

MVL. *Sed ô rei huius auctor atque consili.*
*Quid vultuosa & tristis egressa es foras?*
LVS. *Muliebris animus, quæque designant malæ*
E *Sus deque agunt me concitam ægritudine.*
AL. M. *Quid inquis? hem.*
*LVS. At hæc vera verè.*
*AL. Fac vt sciamus nos amicæ quicquid est.*
*LVS. Hoc turpe dictu est, & tacere res grauis.*
AL. *Quod nos malum vrget? quæso ne celaueris.*
F *LVS. Prurit libido nostra, quid verbis opus?*
AL. M. *Quirites!*
*LVS. Quorsum quiritare? ista sanè vera sunt.*
*Non est vt illas à viris auellere*
*Possim furentes, præut instruunt fugam.*

BISETVS. Βινητιῶμεν.] βινητιᾶν, συνουσίας ὄρεξιν ἔχειν. συνουσίας ἐπιθυμεῖν. Ἡ βράχιστον τοῦ λόγου] ἀντὶ τοῦ, ἵνα διὰ βραχίστου λόγου πᾶν τὸ πρᾶγμα δηλώσω. ἵνα διὰ βραχυτάτων πᾶν τὸ πρᾶγμα συμπεράσω. ἀϋτεῖς δὲ, ἐπιβοᾷς, ἐπικαλῇ. αὔω, τὸ ξηραίνω, καὶ τὸ φωνῶ, καὶ βοῶ. ὅθεν αὐτὴ, καὶ διαλύσει ἀϋτὴ, ἡ βοὴ, ἡ φωνή. καὶ τὸ ῥῆμα ἀϋτεῖν, φωνεῖν, βοᾷν, ἐπιβοᾶσθαι, ἐπικαλεῖσθαι. οἵα τε δὲ, ἱκανὴ, δυνατή. οὐκ ἔτι δύναμαι αὐτὰς ἀπὸ τῶν ἀνδρῶν G ἀπέχειν, εἴτε παύειν αὐτὰς τοῖς ἀνδράσι συνούσας.

CHR. Βινητιῶμεν.] Quî potuit breuius vel Attica simplicitate dignius morbi causam indicare? Non possis hanc breuiloquentiam Romano pede assequi, Nisi si dixeris Perpruriscimus, atque adeò